## Εὐχή πρό τοῦ ὕπνου
## Ἁγίου Ἐφραίμ τοῦ Σύρου.

Κύριε, Ἰησοῦ Χριστέ ὁ Θεός ἡμῶν, ὁ τήν ἁγίαν σου μητέρα τιμιωτέραν ἀναδείξας πασῶν των ἐπουρανίων δυνάμεων, αὐτός, Πανάγαθε, διά τῶν πρεσβειῶν αὐτῆς καί πάντων σου τῶν ἁγίων, παρακλήθητι καί συγχώρησόν μοι τῷ ἀναξίῳ δούλῳ σου, εἴ τι ἥμαρτον σήμερον ὡς ἄνθρωπος, μᾶλλον δέ ὡς ἀπάνθρωπος, τά ἑκούσιά μου παίσματα καί τά ἀκούσια·

Τά ἐν γνώσει καί ἐν ἀγνοίᾳ, τά ἐκ συναρπαγῆς καί ἀπροσεξίας καί πολλῆς μου ῥαθυμίας καί ἀμελείας γεγενημένα·

Εἴτε τό ὄνομά σου τό ἅγιον ὤμοσα εἴτε ἐπιώρκησα ἤ ἐβλασφήμησα κατά διάνοιαν ἤ ἔν τινί σε παρώργισα

Ἤ ἔκλεψα ἤ ἐψευσάμην ἤ φίλος παρέβαλε πρός ἐμέ καί παρεῖδον αὐτόν· ἤ ἀδελφόν ἔθλιψα καί παρεπίκρανα·

Ἤ ἱσταμένου μου ἐν προσευχῇ καί ψαλμωδίᾳ ὁ νοῦς μου ὁ πονηρός εἰς τά πονηρά καί βιοτικά περιεπόλευσεν ἤ παρά τό πρέπον ἐτρύφησα.